UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Cap. XXIV. Epistola pacifica eorundem Episcoporum ad Magnum Athanasium. Item quomodo etiam reliqui Orientis Episcopi sedes suas receperint: & quod rursus ejecto Macedonio, Paulus in ejus locum ...

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

οὐάλης· Καὶ ἃ μὲν πρὸς Ἰούλιον ὡμολόγησαν, ταῦτά ἐστιν· ἃ δὲ καὶ πρὸς Ἀθανάσιον ἔγραψαν, ἀναγκαίως παραθήσομαι. ἔχει δὲ ὧδε.

A Valens. Et iſta quidem apud Julium ſunt profeſſi. Quæ vero ad ipſum Athanaſium ſcripſerunt, neceſſario hic apponenda ſunt. Sic autem habent.

---

## Κεφ. κδʹ.

Ἐπιστολὴ εἰρηνικὴ τῶν αὐτῶν πρὸς τὸν μέγαν Ἀθανάσιον· ἔτι δὲ καὶ ὅπως οἱ λοιποὶ τῆς ἑῴας ἐπίσκοποι τοὺς ἰδίους θρόνους ἀπέλαβον· καὶ ὅτι πάλιν Μακεδονίου ἐκβληθέντος, Παῦλος τῷ θρόνῳ ἀντικατέστη.

## Cap. XXIV.

*Epiſtola pacifica eorundem Epiſcoporum ad Magnum Athanaſium. Item quomodo etiam reliqui Orientis Epiſcopi ſedes ſuas receperint: & quod rurſus ejecto Macedonio, Paulus in ejus locum ſubſtitutus eſt.*

Κυρίῳ ἀδελφῷ Ἀθανασίῳ ἐπισκόπῳ, Οὐρσάκιος καὶ Οὐάλης ἐπίσκοποι. B

*Domino fratri Athanaſio Epiſcopo Vrſacius & Valens Epiſcopi.*

Ἀφορμὴν εὑρόντες διὰ τοῦ ἀδελφοῦ καὶ συμπρεσβυτέρου ἡμῶν Μουσαίου ἐρχομένου πρὸς τὴν σὴν ἀγάπην, ἀδελφὲ ἀγαπητέ, διὰ τούτου σε πάνυ προσαγορεύομεν ἀπὸ τῆς Ἀκυλίας· καὶ εὐχόμεθά σε ὑγιαίνοντα, τὰ γράμματα τὰ ἡμέτερα ἀναγνῶναι· δώσεις γὰρ ἡμῖν θαῤῥεῖν, ἐὰν καὶ σὺ ἐν τῷ γράφειν ἀποδῷς ἡμῖν τὴν ἀμοιβήν· γίνωσκε γὰρ ἡμᾶς εἰρήνην ἔχειν μετὰ σοῦ, καὶ κοινωνίαν ἐκκλησιαστικὴν· καὶ τούτων γνώρισμα, C ἡ διὰ τούτων τῶν γραμμάτων προσηγορία. Ἀθανάσιος μὲν οὖν οὕτως ἐκ τῶν πρὸς δύσιν ἀρχομένης ἐπανῆλθεν εἰς Αἴγυπτον· καὶ Παῦλος δὲ καὶ Μάρκελλος, Ἀσκληπᾶς τε καὶ Λούκιος, τοὺς ἰδίους ἀπέλαβον θρόνους· καὶ γὰρ δὴ τούτοις γράμματα βασιλέως ἐπέτρεπε τὴν ἐπάνοδον· καὶ ἐν μὲν τῇ Κωνσταντινουπόλει Παύλου εἰσελθόντος, ὑπεχώρησε Μακεδόνιος, καὶ καθ' ἑαυτὸν ἐκκλησίαζεν· ἐν Ἀγκύρᾳ δὲ μέγιστος συνέβη θόρυβος, ἀφαιρουμένου Βασιλείου τῆς ἐνταῦθα ἐκκλησίας, ἡνίκα Μάρκελλος εἰσῄει· τοῖς δὲ ἄλλοις οὐ χαλεπὴ ἡ εἴσοδος ἐγένετο.

Dedit ſe occaſio fratris & compreſbyteri noſtri Moyſetis, venientis ad tuam dilectionem, frater chariſſime, per quem tibi ſalutem largiſſimam dicimus ex Aquilejenſium civitate, & optamus ut incolumis literas noſtras recenſeas. Dederis enim fiduciam, ſi tu quoque in reſcribendo vicem nobis rependas. Sane habere nos pacem tecum & communionem Eccleſiaſticam, his literis ſcito. Divina pietas te cuſtodiat, Frater. Athanaſius igitur ex Occidentis partibus in Ægyptum reverſus eſt. Paulus quoque & Marcellus, Aſclepas ac Lucius, ſedes ſuas recuperarunt. Etenim Imperatoris literæ, redeundi facultatem iſtis etiam conceſſerant. Et Conſtantinopoli quidem, ingreſſo Paulo, Macedonius ſe ſubduxit, & privatim conventus egit. Ancyræ vero graviſſimus tumultus exſtitit, cum introeunte Marcello Baſilius Eccleſiâ ſpoliaretur. Reliquis nequaquam difficilis contigit reſtitutio.